τοῦ Β. τὸ Α γὰρ ἂν πρὸς τὸ Γ ἐλάσσονα λόγον εἶχεν ἤπερ τὸ
Β πρὸς τὸ Γ· οὐκ ἔχει δέ· οὐκ ἄρα ἔλασσόν ἐστι τὸ Α τοῦ
Β· ἐδείχθη δὲ οὐδὲ ἴσον· μεῖζον ἄρα ἐστὶ τὸ Α τοῦ Β. Ἐχέ-
τω δὴ πάλιν τὸ Γ πρὸς τὸ Β μείζονα λόγον ἢ περ τὸ Γ πρὸς
τὸ Α· λέγω ὅτι ἔλασσόν ἐστι τὸ Β τοῦ Α. εἰ γὰρ μή, ἤτοι ἴ-
σον ἐστὶν ἢ μεῖζον. ἴσον μὲν οὖν οὐκ ἔστι τὸ Β τῷ Α· τὸ Γ
ἄρα ἂν πρὸς ἑκάτερον τῶν Α Β τὸν αὐτὸν εἶχε λόγον·
οὐκ ἔχει δέ· οὐκ ἄρα ἴσον ἐστὶ τὸ Α τῷ Β. οὐδὲ μὴν μεῖζον
ἐστὶ τὸ Β τοῦ Α· τὸ Γ γὰρ ἂν πρὸς τὸ Β ἐλάσσονα λόγον εἶ-
χεν ἤπερ πρὸς τὸ Α· οὐκ ἔχει δέ· οὐκ ἄρα
μεῖζόν ἐστι τὸ Β τοῦ Α. ἐδείχθη δὲ ὅτι οὐδὲ
ἴσον· ἔλαττον ἄρα ἐστὶ τὸ Β τοῦ Α. Τῶν ἄρα
πρὸς τὸ αὐτὸ λόγον ἐχόντων τὸ μείζονα
λόγον ἔχον μεῖζόν ἐστιν· καὶ πρὸς ὃ τὸ αὐ-
τὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλασσόν ἐστιν·
ὅπερ ἔδει δεῖξαι :~

ια Οἱ τῷ αὐτῷ λόγῳ οἱ αὐτοί, καὶ ἀλλήλοις εἰσὶν οἱ αὐτοί. Ἔστω-
σαν γὰρ ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ·
ὡς δὲ τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Ε πρὸς τὸ Ζ· λέγω ὅτι ἐστὶν
ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ. εἰλήφθω γὰρ
τῶν Α Γ Ε ἰσάκις πολλαπλάσια τὰ Η Θ Κ· τῶν δὲ
Β Δ Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ Λ Μ Ν.
καὶ ἐπεί ἐστιν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ· καὶ
εἴληπται τῶν μὲν Α Γ ἰσάκις πολλαπλάσια τὰ Η Θ·
τῶν δὲ Β Δ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ
ἀντιστροφὴ τοῦ ὅρου Λ Μ· εἰ ἄρα ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Θ τοῦ Μ

[illegible]

καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον. πάλιν ἐπεί ἐστιν
ὡς τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Ε πρὸς τὸ Ζ· καὶ εἴληπται τῶν
Γ Ε ἰσάκις πολλαπλάσια τὰ Θ Κ· τῶν δὲ Δ Ζ ἄλλα
ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ Μ Ν· εἰ ἄρα ὑπερ-
έχει τὸ Θ τοῦ Μ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν· καὶ εἰ ἴσον, ἴσον·
καὶ εἰ ἔλαττον, ἔλαττον. ἀλλ᾽ εἰ ὑπερέχει τὸ Θ τοῦ Μ,
ὑπερέχει καὶ τὸ Η τοῦ Λ· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον,
ἔλαττον· ὥστε καὶ εἰ ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ
τὸ Κ τοῦ Ν· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον· καὶ
ἐστὶ τὰ μὲν Η Κ τῶν Α Ε ἰσάκις
πολλαπλάσια, τὰ δὲ Λ Ν τῶν
Β Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολ-
β λαπλάσια· ἔστιν ἄρα ὡς τὸ Α
πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ.
Οἱ ἄρα τῷ αὐτῷ λόγῳ οἱ αὐτοί,
καὶ ἀλλήλοις εἰσὶν οἱ αὐτοί· ὅπερ
ἔδει δεῖξαι :~



β' [illegible]
ὅτι τῷ αὐτῷ [illegible]
λέγει [illegible]
τὸν ὅρον.

ιβ Ἐὰν ᾖ ὁποσαοῦν μεγέθη ἀνάλογον, ἔσται ὡς ἓν τῶν
ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅ-
παντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα.
Ἔστωσαν ὁποσαοῦν μεγέθη ἀνάλογα τὰ Α Β Γ Δ Ε Ζ,
ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ καὶ τὸ Ε πρὸς
τὸ Ζ· λέγω ὅτι ἐστὶν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὰ Α Γ Ε
πρὸς τὰ Β Δ Ζ. εἰλήφθω γὰρ τῶν μὲν Α Γ Ε ἰσάκις
πολλαπλάσια τὰ Η Θ Κ· τῶν δὲ Β Δ Ζ ἄλλα ἃ ἔ-
τυχεν ἰσάκις πολλαπλάσια τὰ Λ Μ Ν· καὶ ἐπεί ἐστιν

ἐπὶ μόνον ὁμογενῶν:

BIBLIOTHECA BODLEIANA

BIBLIOTHECA BODLEIANA